# ΠΡΟΛΟΓΟΣ.

Δημητρίου πέλοντα θυμηδῆ πόνον
ἔπη τάδ' ἴσθι Καρακάσση τοὐπίκλην·
Ὅς οἱ Ἀκέστωρ καίπερ ἠσχολημένος,
σχολὴν ὅτ' ἦγε χειρὸς ἐκ παιωνίας,
ψυχὴν ἔτερπεν ἐμμελεῖ στιχουργίᾳ
τρανῶν δι' αὐτῆς τάσδ' ὅσαςπερ ἐν γένει
Ἰατρικὰς ἔσχηκεν ἐννοίας νόῳ.
ὧν τὰς μὲν ηὐπόρησεν ἀκροώμενος
ἠσκημένων δὴ καὶ σοφῶν ἀνδρῶν πάλαι,
Ἄλλᾳ τὸ πρὶν μὲν, Οὐϊνδοβώνᾳ δ' ὕστερον,
τοιῶνδ' ἐν αἷς ὅμιλος ἦν ἀκεστόρων·
τὰς δ' ἐκ τριβῆς τε κἀνελίξεώς ποτε
ἤθροισε βίβλων τῶν τε νῦν καὶ τῶν πάλαι.
ἄλλας δὲ πείρᾳ συντόνῳ τ' ἐπιστάσει,
πολλοῖς θαμίζων τῶν νόσοις κακουμένων
γῆς πολλαχοῦ πρὶν, εἶτα δ' ἐν Δακῶν πέδῳ,
σκοπῶν ἐρευνῶν τοῖσδ' ἃ συμπέπτωκέ τε
ἐκτήσατ' ἐν χρόνῳ τε κἀτρύτῳ πόνῳ.
ἃς προὔθετ' ἐμμέτροις μὲν ἐκδοῦναι λόγοις,
οὐ τοῖσδε μύθους ξυντιθεὶς πεπλασμένους.